ἵνα δὲ ἀποφύγωσι μετὰ ταῦτα οἱ τῶν ἑλλήνων παῖδες τῆς συγχύσεως,
ἐπάνω τῆς αης συλλαβῆς τῆς λέξεως ἔθηκαν τὴν δασεῖαν οὕτω, Ⱶ.
ὥστε τὸ αον μέρος τόπον ἔχειν δασείας οὕτω Ⱶ, τὸ δὲ βον μέρος τόπον
ἔχειν ψιλῆς οὕτω ⱶ. τὰ νῦν ὅμως ἔκριναν εὐλογώτερον τὴν μὲν δασεῖαν,
ὥστε πνεῦμα τῆς προσῳδίας, πρὸς διαφορὰν τοῦ η, γράμματος γρά=
φεσθαι οὕτως ῾, τὴν δὲ ψιλὴν οὕτως ᾿.

Σημείωσαι ἔτι, ὅτι τὰ φύσει μακρὰ φωνήεντα παρὰ ποιηταῖς ἐνίοτε
συστέλλονται, καὶ τὰ βραχέα ἐκτείνονται, οὐ μόνον θέσει, ἀλλὰ τισιν ἄλλοις
τρόποις, ὅτε ποιητικὴ ἀδεία.
Τὰ δίχρονα οὐκ ἐκληρώσαντο τοῦτο τὸ ὄνομα, δι᾿ ὃ τὸ δυνατὸν εἶναι
λαμβάνεσθαι κατὰ τὴν ἑκάστου θέλησιν, ἐν τῷ αὐτῷ ἀντὶ μακρῶν, ἢ βρα=
χέων, οὐδαμῶς· ἀλλ᾿ ἐν διαφόροις. τὸ γὰρ ᾱ, ῑ, καὶ ῡ, ἐν ταύταις
ταῖς λέξεσι, στόμα, μέλι, φυγή, γυνή, ἀεὶ συστέλλονται· ἐν δὲ
ταύταις, λαός, τιμή, νίκη, μῦθος, ψυχή, χρυσός, θυμός
ἀεὶ ἐκτείνονται. Εὑρίσκονται κἄτινα τὰ τὸ αὐτὸ δίχρονον
ποτὲ μὲν ἐκτείνοντα, ποτὲ δὲ συστέλλοντα· οἷον, ἄρης, ἀνήρ, καλός,
φίλος, ἴσος, ὕδωρ.

Προτακτικὰ φωνήεντά εἰσι τὰ ἐν τῇ συνθέσει τῶν διφθόγγων προτιθέ=
μενα. Ὑποτακτικὰ δὲ τὰ ἐν τῇ συνθέσει τούτων ὑποτασσόμενα.

Ἐπειδὴ ὅμως ἐκ τῶν ὑποτακτικῶν δύο φωνηέντων καταχρηστικὴ δίφ=
θογγος γίνεται υι, ὅτε υ, ἕπεται, ὅτι τὸ υ, ὡς πρὸς τὸ ι,
δύναται λέγεσθαι ἔτι φωνῆεν προτακτικόν· καὶ οὕτως προηγούμενον
τῆς οἱας οὖν λέξεως, δασύνεται ἀεί.

## Περὶ Διφθόγγων.

Ἐκ τῶν φωνηέντων γίνονται δώδεκα δίφθογγοι, ὧν αἱ μὲν ἓξ αἱ,

αυ